*ΑΛ.* ὁρῶ δίκωπον ὁρῶ σκάφος [ἐν λίμνᾳ], str.
νεκύων δὲ πορθμεὺς
ἔχων χέρ᾽ ἐπὶ κοντῷ Χάρων μ᾽ ἤδη καλεῖ· τί μέλλεις;
ἐπείγου· σὺ κατείργεις.
τάδε τοί με σπερχόμενος ταχύνει.
*ΑΔ.* οἴμοι, πικράν γε τήνδε μοι ναυκληρίαν
ἔλεξας. ὦ δύσδαιμον, οἷα πάσχομεν.
*ΑΛ.* ἄγει μ᾽ ἄγει μέ τις, οὐχ ὁρᾷς; antistr.
νεκύων ἐς αὐλὰν
ὑπ᾽ ὀφρύσι κυαναυγέσι βλέπων πτερωτὸς Ἅιδας.
τί ῥέξεις; ἄφες. οἵαν
ὁδὸν ἁ δειλαιοτάτα προβαίνω.
*ΑΔ.* οἰκτρὰν φίλοισιν, ἐκ δὲ τῶν μάλιστ᾽ ἐμοὶ
καὶ παισίν, οἷς δὴ πένθος ἐν κοινῷ τόδε.
*ΑΛ.* μέθετε μέθετέ μ᾽ ἤδη.
κλίνατ᾽, οὐ σθένω ποσίν·
πλησίον Ἅιδας.
σκοτία δ᾽ ἐπ᾽ ὄσσοις νὺξ ἐφέρπει.
τέκνα, τέκν᾽, οὐκέτι δὴ
οὐκέτι μάτηρ σφῷν ἔστιν.
χαίροντες, ὦ τέκνα, τόδε φάος ὁρῷτον.
*ΑΔ.* οἴμοι· τόδ᾽ ἔπος λυπρὸν ἀκούω
καὶ παντὸς ἐμοὶ θανάτου μεῖζον.
μὴ πρός σε θεῶν τλῇς με προδοῦναι,
μὴ πρὸς παίδων οὓς ὀρφανιεῖς,
ἀλλ᾽ ἄνα τόλμα·
σοῦ γὰρ φθιμένης οὐκέτ᾽ ἂν εἴην·

---

252 ὁρῶ ante *σκάφος* erasum in *L* | *ἐν λίμνᾳ* del. Aldina 254 *χέρ᾽* Aldina] *χεὶρ᾽* libri 256 *τάδε τοί* (*τοία a*[3]) *με Ba*] *τάδ᾽ ἕτοιμα S* 259 *ἄγει μ᾽ ἄγει με τις l*] *ἄγει *ἄγει με τις L ἄγει ἄγει μέ τις P ἄγει μ᾽ ἄγει τίς B ἄγει μ᾽ ἄγει τίς ἄγει μέ τις a* 260 *ἐς P*] *εἰς rp* (vel *P*[1]) 261 *κυαναυγές* Kirchhoffius | *ἅδας P*] *ἅδης L ἀΐδας r* 262 *τί ῥέξεις S*] *μέθες με τί ῥέξεις* (*πράξεις B*) *r* 263 *δειλαι** L δειλαία l* 266 *μέθετε μέθετε μ᾽ S*] *μέθετε με μέθετε μ᾽ r* 267 *κλίνατ᾽*] *κλίνατέ μ᾽ S* | *ποσίν* Hermannus] *ποσί L πόσι r* 268 *ἅδας S*] *ἀΐδας r* 269 *ὄσσοισι P ὄσσοισιν L* 270 *τέκν᾽ L*] *τέκνα r* 271 *οὐκέτι δὴ S* | *σφῶν S*] *σφῶιν r* | *ἔστιν L*] *ἐστὶ r* 272 *ὁρῴτην* Elmsleius ad Aristoph. Ach. 733 273 *ὤμοι PL*[1] 275 *σε* om. libri. add. Porsonus ad Med. 325 276 (*μὴ — ὀρφανιεῖς*) om. *S* 277 *ἄνα τόλμα l*] *ἀνα τόλμα B ἀνατόλμα r*